γενναῖον δὲ καὶ τὸ Λακωνικόν·

'νῦν ἄμμες, πρόσθ' ἄλλοι ἐθάλεον, αὐτίκα δ' ἄλλοι,
ὧν ἄμμες γενεὰν οὐκέτ' ἐποψόμεθα'

καὶ πάλιν·

'οἵδ' ἔθανον
οὐ τὸ ζῆν θέμενοι καλὸν οὐδὲ τὸ θνήσκειν,
ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερ' ἐκτελέσαι.' C

πάνυ δὲ καλῶς καὶ ὁ Εὐριπίδης ἐπὶ τῶν τὰς μακρὰς νοσηλείας ὑπομενόντων φησί (Suppl. 1109)

'μισῶ δ' ὅσοι χρῄζουσιν ἐκτείνειν βίον
βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετὸν ὥστε μὴ θανεῖν.
οὓς χρῆν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν,
θανόντας ἔρρειν κἀκποδὼν εἶναι νέοις.'

ἡ δὲ Μερόπη λόγους ἀνδρώδεις προφερομένη κινεῖ τὰ θέατρα, λέγουσα τοιαῦτα (Eur. fr. 454)

'τεθνᾶσι παῖδες οὐκ ἐμοὶ μόνῃ βροτῶν, D
οὐδ' ἀνδρὸς ἐστερήμεθ', ἀλλὰ μυρίαι
τὸν αὐτὸν ἐξήντλησαν ὡς ἐγὼ βίον.'

τούτοις γὰρ οἰκείως ἄν τις ταῦτα συνάψειε (Tr. adesp. 372)

'ποῦ γὰρ τὰ σεμνὰ κεῖνα, ποῦ δὲ Λυδίης
μέγας δυνάστης Κροῖσος ἢ Ξέρξης βαρὺν
ζεύξας θαλάσσης αὐχέν' Ἑλλησποντίας;
ἅπαντες Ἅιδαν ἦλθον καὶ Λάθας δόμους',

τῶν χρημάτων ἅμα τοῖς σώμασι διαφθαρέντων.